## ΦΥΛΑΞ.

*Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,*
*φρουρᾶς τ' ἐτείας μῆχος, ἣν κοιμώμενος*
*στέγαις 'Ατρειδῶν ἄγκαθεν, κυνὸς δίκην,*
*ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν*
*καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς*
*λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι*
*[ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν].*
*καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,*
*αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν*
*ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖν*
*γυναικὸς ἀνδρόβουλον ἐλπίζει κέαρ,*
*ἣ τήνδε νυκτίπλαγκτον ἔνδροσόν τ' ἐγὼ*

2. *φρουρᾶς*] Malim *φρουρᾶς τ'.* *ἐτείας*] An *ἐτείου?* *μῆκος* M. *μῆχος* Stanl. Valck. (ad Herod. IV. 151.). Haupt. Cf. Eur. Andr. 536. *κακῶν μῆχος ἐξανύσασθαι.* Hom. Il. 2, 342. *οὐδέ τι μῆχος | εὑρέμεναι δυνάμεσθα.* Herod. II. 181. IV. 151. *κακοῦ μῆχος.* Theocr. II. 95. *χαλεπᾶς νόσω εὗρέ τι μᾶχος.* Malim *μῆχαρ*, quod legitur 199. *χείματος — μῆχαρ.* Pr. 606. Suppl. 394. 594. *δ' ἣν* M.

3. *στέγαις*] *στέγης* Schn. Eng. Dind. Keck. Cf. 518. *ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι.* 1186. *τὴν γὰρ στέγην τήνδ' —.* *ἀνέκαθεν* Franz.

5. 6. Hos versos affert Achilles Tat. Isag. in Arat. p. 122. Sedes eorum permutaverit A. E. Housman. vv. 5—7. delet Lowinsky.

6. *δυνάστας*] Qu. *πλανήτας.*

7. Versum spurium excludunt Valck. Porson. Dind. Pal. etc. Dactylum in primo pede senarii non videtur admisisse Aeschylus nisi in nominibus propriis. V. ad Ch. 216. *τηρῶ δ' ὅταν* Bergk. *τε τῶν*] Qu. *τ' ἴσως.*

10. *κρατεῖ — ἐλπίζον* M. *κρατεῖν — ἐλπίζει* recte Heath. Cf. 1363. *κατθανεῖν κρατεῖ* (i. e. *κράτιστόν ἐστι*). *κυρεῖ — ἐλπίζον* Margol. *κρατεῖν — ἐλπίζω* defendit Elmsleius. Pro *κρατεῖ* requiritur fortasse verbum *κελεύει* significans. Qu. *θέλει — ἐλπίζον.* (Cf. 256. *θέλει τόδ' —.*) Vel *κυρεῖ — ἐλπίζον.* Cf. Ch. 187. *πῶς γὰρ ἐλπίσω* (expect, believe, think) | *ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης* (*κόμης*?);

11. *ἀνδρόβουλον*] *ἀνδρόλημον* Mein. *ἐλπίζων* (ο sup. ω) M. *ἐλπίδων* Weckl.

12. *εὖτ' ἂν δὲ* mss. *κοίτην δὲ* Bentl. *ταύτην δὲ* Keck. *ἣ τήνδε* Kock. *εὕδων δὲ* Wilam. *ἐκ τῶνδε* Heyse. Cf. 422. Ch. 743. *εὖτ' ἂν πύθηται μῦθον.* Pers. 230. 364. Sept. 338. Qu. *ἀεὶ δὲ*, aut *ταύτην δέ*, aut *τοιάνδε.* *ἔχω* mss. *ἐγὼ* Heyse.